UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Ophelio Grammatico. 86.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

τοῦ σώματος ἀκεραιότητα τοῖς ὑγιαίνουσιν ἐκ τοιούτων παθῶν εἰσφρήσας τὴν ἑαυτοῦ ἀλγηδόνα.

Τῷ αὐτῷ. πδ.

Οὐκ ἔστιν, ὦ φίλη κεφαλή, ἐν παραβύστῳ καὶ ἀποκρύφῳ κείμενος, ὁ τοῦ κυρίου νόμος, Μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου, κελεύοντος. ἀλλὰ λευκὸς καὶ σαφέστατος, καὶ τοῖς προσόχοις ἀρίδηλος. ἐπειδὴ γὰρ τῷ εὖ ποιεῖν κενοδοξία παρέπεται καὶ ἐπίδειξις, μηδέν, φησί, καλὸν γινέσθω παρὰ σοῦ ἐμπαθῶς, μηδὲ πέρπερος λογισμὸς ἀκολουθείτω τῷ κατορθώματι. ἀλλ᾽ εἰ εὖ ποιεῖς, ἀνεπίδεικτος ἔσο καὶ ἄκομπος, τοὺς ἐνταῦθα κρότους μὴ θηρῶν, ἀλλὰ τοὺς μέλλοντας στεφάνους προσδοκῶν.

Οὐρσενουφίῳ. πε.

Ἡ τοῦ κυρίου διδαχὴ ἐν τῇ προσευχῇ μετὰ πάντων τῶν ἄλλων θεοπρεπῶν διδαγμάτων, καὶ γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, κελεύει προσεύχεσθαι τὴν τῶν ἄνω δυνάμεων εἰρήνην, τὴν ἀστασίαστον φάσκουσα, ἣν καὶ ἡμῖν βραβεῦσαι τοῖς ἐπὶ γῆς καταξίωσον, ἵν᾽ ὥσπερ ἐν αὐταῖς πάντα κατορθοῦται τὰ θελήματα, οὕτως καὶ ἐν ἡμῖν τὰ σοὶ εὐάρεστα γένηται. ταῦτα τοίνυν καὶ πρώην εἰδώς, καὶ νῦν μαθὼν παρ᾽ ἐμοῦ ἐπιλαβοῦ, καὶ ἔχου ἀπρὶξ τῆς εἰρήνης. οὐράνιος γάρ ἐστι καὶ θεῷ πλησιάζουσα. *ὡς θεῷ πλησιαζούσης.*

Ὠφελίῳ γραμματικῷ. πς.

Σπέρματος γένος, καὶ αἵματος κόμπος, ὦ ἄριστε τῶν ποιητῶν, οὐκ ἔστιν ἀρετή, ἀλλ᾽ ἀκούσιός τις διαδοχὴ ἐκ σωμάτων καταγομένη καὶ ῥέουσα. ἀρετὴ δέ, φρόνησίς ἐστι, δικαιοσύνη τε, καὶ ἀνδρεία, καὶ σωφροσύνη. ὃς ἂν οὖν ἔχηται τούτων, καὶ πάγκαλός ἐστι,

imitans, corporis integritatem & incolumitatem depaſcatur; ſuo videlicet dolore, iis, qui ab huiuſmodi vitiis ſani ſunt, impacto.

*Eidem.* 84.

Non eſt, ô charum mihi caput, hæc Domini lex in occulto ac latebris ſita, quæ hoc iubet: Neſciat ſiniſtra manus quid faciat dextra tua: verùm aperta & dilucida; *Matt. 6.* iiſque, qui attento animo ſunt, perſpicua. Quoniam enim probarum actionum inanis gloria & oſtentatio comes eſſe ſolet, *Inanis gloria in bonis actionibus cauenda.* idcircò nullum, inquit, bonum abs te cum vitioſa animi affectione fiat, nec improba & præpoſtera cogitatio præclarum & cum virtute coniunctum facinus comitetur: quin potiùs ſi quid boni facis, ab omni oſtentatione ac iactatione alienus ſis, præſentes ſcilicet plauſus minimè captans, verùm futuras coronas expectans.

*Vrſenuphio.* 85.

Domini doctrina in oratione, qua præter alia omnia diuina maieſtate digna documenta, hoc petitur, Fiat voluntas tua ſicut in cęlo & in terra, *Math. 6.* precibus hoc à Deo contendere docet, virtutum cęleſtium pacem, quæ diſſidij omnis expers eſt, nobis quoque, qui in terra verſamur, impertire digneris: vt quemadmodum in ipſis volûtates omnes tuæ perficiuntur; ita etiam in nobis, quæ tibi grata ſunt, fiant. Hæc igitur, & cùm priùs perſpecta habueris, & nunc ex me intellexeris, pacem arripe, ac mordicus eam retine. Cœleſtis enim eſt, ac Deo vicina.

*Ophelio Grammatico.* 86.

Seminis genus, & ſanguinis faſtus atque iactantia, Poëtarum præſtantiſſime, virtus non eſt, verùm haud voluntaria quædam ſucceſſio è corporibus deſcendens, ac fluxa & caduca. At verò virtus in prudentia, iuſtitia, fortitudine, ac temperâtia ſita eſt. *Virtus in quo ſita.* Quiſquis igitur hæc complexus fuerit, & pulcherrimus, & côſpicuus eſt, atque eiuſ-

modi vt nihil ipsi desit, quod ad benè beatéque viuendum pertineat.

*Ad Sandalarias, Alexādrinas Monachas.* 87.

*Mulieris sexus fœminæ nō excusat.* Excusationem nescit natura: veniam fœmina non habet. Potest enim fortiter ac strenuè aduersus mollitiem impetum facere, cupiditatúmque machinas atque tormenta firmiter propulsare. Documento
*Dan.13.* sunt, celebris illa Susanna, cum filia Ieph-
*Iudic.11.* *Iudit.13.* the, & admiranda Iudith. Quarum prima senum intemperantem libidinem in iuuenili ætate superauit. Altera mortem quoque magno animo suscepit, atque cum virginitate præclarè abscessit. Postrema pro castitatis præmio hoc à Deo accepit, vt tyranno necem afferret. Adde muliebriū victoriarum ac tropheorum caput, hoc est
*Thecla.* illam omnium laudibus celebratam Theclam, quæ tanquam immortalis pudicitiæ columna prostat, quæque è media turbidarum affectionum tempestate tanquam fax accensa, ad portum ab omnibus fluctibus immunem appulit. Quocirca si ad hunc modum laudes vestras tanquam preconis voce prædicari cupitis, inextinctas
*Matt.25.* vestras lampades conseruate (statim enim sponsus affuturus est:) neque cōmittite, vt vos vllus voluptatis somnus deprimat, qui socordes ac somnolentas extra thalami fores retinet.

*Arsenio.* 88.

*Luc.18.* Si Pharisæus, cùm ea fecisset quæ iactabat, propterea condemnatus quia se iactauit, quid te iactas, garriens duntaxat, ac non item boni aliquid faciens: téque grauiori pœnæ obnoxium reddens, quàm qua Pharisæus mulctatus est; cùm tamen nihil reprehensione dignum admisisset, verùm hoc vnum illi crimini datum fuisset, quòd de probis actionibus gloriaretur.

*Isidoro Episcopo.* 89.

Omnes quidem, si fieri posset, mulierū cœtus atq; colloquia defugere oporteret,

καὶ περίβλεπτος, καὶ οὐδενὸς πρὸς εὐζωΐαν λειπόμενος.

Μοναστρίαις ἀλεξανδρίναις ταῖς σανδαλαρίαις. πζ.

Οὐκ οἶδε παραίτησιν ἡ φύσις, οὐκ ἔχει συγγνώμην τὸ θῆλυ. δύναται γὰρ γενναίως κατεξανίστασθαι τῆς χαυνώσεως, καὶ ἀποκρούεσθαι στερρῶς τὰς τῶν ἐπιθυμιῶν ἑλεπόλεις. καὶ διδάσκαλοι τούτου, Σωσάννα ἡ εὐκλεὴς, καὶ ἡ θυγάτηρ Ιεφθὲ, καὶ ἡ θαυμαστὴ Ιουδὴθ, ἡ μὲν γερόντων ἀκολασίαν νικήσασα ἐν νεότητι. ἡ δὲ καὶ θάνατον ἀνδρείως ἑλομένη, καὶ τῇ παρθενίᾳ συναπελθοῦσα ἀοιδίμως. ἡ δὲ μισθὸν τῆς σωφροσύνης, δύναμιν παρὰ θεοῦ εἰληφυῖα, τυραννοκτόνος γενέσθαι. καὶ τὸ κεφάλαιον τῶν γυναικείων νικῶν καὶ τροπαίων, ἡ πανεύφημος Θέκλα, στήλη αἰώνιος ἁγνείας ἑστῶσα, καὶ ὡς πυρσὸς ἐκ μέσου τοῦ κλύδωνος τῶν παθῶν ἀναφθεῖσα, εἰς τὸν ἀκύμονα καταίρασα λιμένα. εἰ τοίνυν οὕτως ἀναρρηθῆναι ἐπιθυμεῖτε, τὰς λαμπάδας ἀσβέστους τηρήσατε. ὁ γὰρ νυμφίος εὐθὺς παραγίνεται, καὶ μηδεὶς ὑμᾶς ὕπνος ἡδυπαθείας ἀνακλίνῃ, ὁ ἔξω τῆς θύρας τοῦ νυμφῶνος τὰς ὑπνηλὰς καὶ ῥαθύμους κατέχων. ἀκύμαντοι.

Αρσενίῳ. πη.

Εἰ πράξας ὁ φαρισαῖος ἃ ἐκαυχήσατο, σὺ τί καυχᾶσθαι λαρυγγίζων ἁπλῶς, καὶ οὐ πράττων χρηστῶς, καὶ χείρονος ἑαυτὸν ποιεῖν, ἔνοχον κρίσεως, ἧς ὁ φαρισαῖος ὑπέμεινεν, οὐδὲν μὲν ἄξιον μέμψεως πεπραχὼς, μόνην δὲ τὴν οἴησιν τῆς εὐπραγίας ἐγκληθείς. κατεκρίθη ἐπειδὴ ἐκαυχήσατο. χᾶσαι. ποιεῖς.

Ισιδώρῳ ἐπισκόπῳ. πθ.

Πάσας μὲν, εἰ οἷόν τε, ὁμιλίας γυναικῶν ἐκτρέπεσθαι χρὴ, ὡς ἐχούσας τινὰ